ἄτριχα καὶ κόρσην, Εὐνικίδου ἡμιπύρωτα
λείψαν' ἔτι χλωρῆς ἔμπλεα τηκεδόνος.
χθὼν ὦ δυσνύμφευτε, κακοσκήνευς ἐπὶ τέφρης
ἀνδρὸς μὴ κούφη κέκλισο μηδ' ὀλίγη.

## XLII

βότρυες οἰνοπέπαντοι ἐυσχίστοιό τε ῥοιῆς
θρύμματα καὶ ξανθοὶ μυελοὶ ἐκ στροβίων
καὶ δειναὶ δάκνεσθαι ἀμυγδάλαι ἥ τε μελισσῶν
ἀμβροσίη πυκναί τ' ἰτρίνεαι ποπάδες
καὶ πότιμοι γέλγιθες ἰδ' †ὑελακυκάδες† ὄγχναι
δαψιλῆ οἰνοπόταις γαστρὸς ἐπεισόδια·
Πανὶ φιλοσκίπωνι καὶ εὐστόρθυγγι Πριάπῳ
ἀντίθεται λιτὴν δαῖτα Φιλοξενίδης.

## XLIII

σπήλυγγες Νυμφῶν εὐπίδακες αἳ τόσον ὕδωρ
εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος,
Πανός τ' ἠχήεσσα πιτυστέπτοιο καλιή,
τὴν ὑπὸ Βασσαίης ποσσὶ λέλογχε πέτρης,
ἱερά τ' ἀγρευταῖσι γερανδρύου ἀρκεύθοιο
πρέμνα, λιθηλογέες θ' Ἑρμέω ἱδρύσιες,



Technische Universität Universitätsbibliothek Dresden